τὸν υἱὸν ἡ δύστηνος ὧδ' ὀλωλότα;
ἀλλ' ἐγγελῶσα φροῦδος. ὢ τάλαιν' ἐγώ·
Ὀρέστα φίλταθ', ὥς μ' ἀπώλεσας θανών.
ἀποσπάσας γὰρ τῆς ἐμῆς οἴχῃ φρενὸς
αἵ μοι μόναι παρῆσαν ἐλπίδων ἔτι,
σὲ πατρὸς ἥξειν ζῶντα τιμωρόν ποτε
κἀμοῦ ταλαίνης. νῦν δὲ ποῖ με χρὴ μολεῖν;
μόνη γάρ εἰμι, σοῦ τ' ἀπεστερημένη
καὶ πατρός. ἤδη δεῖ με δουλεύειν πάλιν
ἐν τοῖσιν ἐχθίστοισιν ἀνθρώπων ἐμοί,
φονεῦσι πατρός. ἆρά μοι καλῶς ἔχει;
ἀλλ' οὔ τι μὴν ἔγωγε τοῦ λοιποῦ χρόνου
ξύνοικος εἴσειμ', ἀλλὰ τῇδε πρὸς πύλῃ
παρεῖσ' ἐμαυτὴν ἄφιλος αὐανῶ βίον.
πρὸς ταῦτα καινέτω τις, εἰ βαρύνεται,
τῶν ἔνδον ὄντων· ὡς χάρις μέν, ἢν κτάνῃ,
λύπη δ', ἐὰν ζῶ· τοῦ βίου δ' οὐδεὶς πόθος.

Χο. ποῦ ποτε κεραυνοὶ Διός, ἢ — στρ.
ποῦ φαέθων Ἅλιος, εἰ ταῦτ' ἐφορῶν-
τες κρύπτουσιν ἕκηλοι;
Ηλ. ἒ ἕ, αἰαῖ.
Χο. ὦ παῖ, τί δακρύεις;
Ηλ. φεῦ. Χο. μηδὲν μέγ' ἀΰσῃς.
Ηλ. ἀπολεῖς. Χο. πῶς;
Ηλ. εἰ τῶν φανερῶς οἰχομέ-
νων εἰς Ἀΐδαν ἐλπίδ' ὑπ-
οίσεις, κατ' ἐμοῦ τακομέ-
νας μᾶλλον ἐπεμβάσῃ.

Χο. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων — ἀντ.

809 οἴχῃ φρενὸς L² (in rasura) A rec : φρενὸς οἴχῃ L rec 810 μόνον A Ven 818 ξύνοικος εἴσειμ' Hermann : ξύνοικος ἔσσομ' Lᶜ A rec (ἔσομ' Lᵃᶜ) : ξύνοικος ἔσομαι rec : ἔσομαι ξύνοικος Dawes 819 ἄφιλον Vindobᶜ 821 κτάνῃ] θάνω Σ ad v. 975 824 ἅλιος A rec : ἥλιος Suid. v. κεραυνοί : ἀέλιος L rec